κόψας ἢ ἀποκρίνας θάτερον, ἐξελέγξει τὴν ἑκατέρου φύσιν ὅσον εἶχεν ἀλλότριον· μέχρι δὲ τούτου τὸ συγκεκραμένον ἡ κοινωνία δείκνυσιν, ἀρνουμένη ἐκ δυοῖν εἶναι, καὶ ἀποκρύπτουσα τὰς ἀμφοῖν εἰς κοινωνίαν ἀρχάς, καὶ ἀναπιμπλᾶσα θατέρου θάτερον, ὡς μήτε ψυχῆς εἶναι πάθος ὃ σώματος οὐ καθάπτεται, μήτε σώματος μεταβολὴν ἣ διὰ ψυχῆς οὐ κεχώρηκε. κινδυνεύομεν ὅμοιόν τι ποιεῖν τῇ περὶ τὸν Ὧρον ὑπ' Αἰγυπτίων μυθολογουμένῃ διανομῇ· δικάσαντος ⟨γὰρ⟩ τινος τῶν παλαιοτέρων θεῶν, ἐπεὶ τῷ πατρὶ τιμωρῶν ἀπέκτεινε τὴν μητέρα, καὶ τὸ αἷμα αὐτοῦ καὶ τὸν μυελὸν καταλιπεῖν, περιελεῖν δὲ τὴν πιμελὴν καὶ τὰς σάρκας, ὡς τούτων ἐν τῇ μητρὶ τὴν σύστασιν λαβόντων, ἐκείνων δ' ἀπὸ τοῦ πατρὸς ⟨κατὰ⟩ τὴν γένεσιν ῥυέντων αὐτῷ. καθάπερ γὰρ οὗτοι τῶν σπερ⟨μά⟩των ⟨τὴν⟩ ἄνωθεν κατὰ φύσιν κρᾶσιν ἀχώριστον ἐπιχειροῦντες διαιρεῖν ἄχρι λόγου μυθώδους καὶ ἀπίστου προέρχονται, τὸν αὐτὸν τρόπον ἡμεῖς σώματος καὶ ψυχῆς εὐθὺς ἐν πρώτῃ καταβολῇ συγχυθέντων πάθη διαλαβεῖν καὶ χωρίσαι ζητοῦντες, ἀκριβοῦς σφόδρα λόγου καθάπερ ὀργάνου λεπτοῦ πρὸς τὴν διαίρεσιν δεόμεθα.

**7.** Ταύτην ἀπογνόντες ⟨τινὲς⟩ φιλόσοφοί φασι μήτε σώματος εἶναί τι μήτε ψυχῆς ἴδιον πάθος, ἀλλὰ τοῦ κοινοῦ· τὸν γὰρ ἄνθρωπον ἥδεσθαι καὶ λυπεῖσθαι καὶ φοβεῖσθαί τινα [ἄνθρωπον], οὐχὶ τὴν ψυχήν, ὥσπερ γε πάλιν οὐ τὸ σῶμα βάλλειν καὶ ὀρχεῖσθαι καὶ περιπατεῖν, ἀλλὰ τὸν ἄνθρωπον, ἀμφοτέροις χρώμενον ὥσπερ ἐξ ἀμφοῖν